ἔλθῃ βασιλεὺς Βαβυλῶνος ἐπὶ τὴν γῆν ταύτην; [20]καὶ νῦν, κύριε 20
βασιλεῦ, πεσέτω τὸ ἔλεός μου κατὰ πρόσωπόν σου, καὶ τί ἀπο-
στρέφεις με εἰς οἰκίαν Ιωναθαν τοῦ γραμματέως καὶ οὐ μὴ ἀπο-
θάνω ἐκεῖ; [21]καὶ συνέταξεν ὁ βασιλεὺς καὶ ἐνεβάλοσαν αὐτὸν εἰς 21
οἰκίαν τῆς φυλακῆς καὶ ἐδίδοσαν αὐτῷ ἄρτον ἕνα τῆς ἡμέρας
ἔξωθεν οὗ πέσσουσιν, ἕως ἐξέλιπον οἱ ἄρτοι ἐκ τῆς πόλεως· καὶ
ἐκάθισεν Ιερεμιας ἐν τῇ αὐλῇ τῆς φυλακῆς.

[1]Καὶ ἤκουσεν Σαφατιας υἱὸς Μαθαν καὶ Γοδολιας υἱὸς Πασχωρ 45
καὶ Ιωαχαλ υἱὸς Σελεμιου τοὺς λόγους, οὓς ἐλάλει Ιερεμιας ἐπὶ
τὸν λαὸν λέγων [2]Οὕτως εἶπεν κύριος Ὁ κατοικῶν ἐν τῇ πόλει 2
ταύτῃ ἀποθανεῖται ἐν ῥομφαίᾳ καὶ ἐν λιμῷ, καὶ ὁ ἐκπορευόμενος
πρὸς τοὺς Χαλδαίους ζήσεται, καὶ ἔσται ἡ ψυχὴ αὐτοῦ εἰς εὕρεμα,
καὶ ζήσεται· [3]ὅτι οὕτως εἶπεν κύριος Παραδιδομένη παραδοθή- 3
σεται ἡ πόλις αὕτη εἰς χεῖρας δυνάμεως βασιλέως Βαβυλῶνος,
καὶ συλλήμψεται αὐτήν. [4]καὶ εἶπαν τῷ βασιλεῖ Ἀναιρεθήτω δὴ ὁ 4
ἄνθρωπος ἐκεῖνος, ὅτι αὐτὸς ἐκλύει τὰς χεῖρας τῶν ἀνθρώπων
τῶν πολεμούντων τῶν καταλειπομένων ἐν τῇ πόλει καὶ τὰς χεῖρας
παντὸς τοῦ λαοῦ λαλῶν πρὸς αὐτοὺς κατὰ τοὺς λόγους τούτους,
ὅτι ὁ ἄνθρωπος οὗτος οὐ χρησμολογεῖ εἰρήνην τῷ λαῷ τούτῳ
ἀλλ' ἢ πονηρά. [5]καὶ εἶπεν ὁ βασιλεύς Ἰδοὺ αὐτὸς ἐν χερσὶν ὑμῶν· 5
ὅτι οὐκ ἠδύνατο ὁ βασιλεὺς πρὸς αὐτούς. [6]καὶ ἔρριψαν αὐτὸν εἰς 6
τὸν λάκκον Μελχιου υἱοῦ τοῦ βασιλέως, ὃς ἦν ἐν τῇ αὐλῇ τῆς
φυλακῆς, καὶ ἐχάλασαν αὐτὸν εἰς τὸν λάκκον, καὶ ἐν τῷ λάκκῳ
οὐκ ἦν ὕδωρ ἀλλ' ἢ βόρβορος, καὶ ἦν ἐν τῷ βορβόρῳ.

[7]Καὶ ἤκουσεν Αβδεμελεχ ὁ Αἰθίοψ, καὶ αὐτὸς ἐν οἰκίᾳ τοῦ βα- 7
σιλέως, ὅτι ἔδωκαν Ιερεμιαν εἰς τὸν λάκκον· καὶ ὁ βασιλεὺς ἦν
ἐν τῇ πύλῃ Βενιαμιν· [8]καὶ ἐξῆλθεν πρὸς αὐτὸν καὶ ἐλάλησεν πρὸς 8
τὸν βασιλέα καὶ εἶπεν [9]Ἐπονηρεύσω ἃ ἐποίησας τοῦ ἀποκτεῖναι 9
τὸν ἄνθρωπον τοῦτον ἀπὸ προσώπου τοῦ λιμοῦ, ὅτι οὐκ εἰσὶν
ἔτι ἄρτοι ἐν τῇ πόλει. [10]καὶ ἐνετείλατο ὁ βασιλεὺς τῷ Αβδεμελεχ 10
λέγων Λαβὲ εἰς τὰς χεῖράς σου ἐντεῦθεν τριάκοντα ἀνθρώπους
καὶ ἀνάγαγε αὐτὸν ἐκ τοῦ λάκκου, ἵνα μὴ ἀποθάνῃ. [11]καὶ ἔλαβεν 11
Αβδεμελεχ τοὺς ἀνθρώπους καὶ εἰσῆλθεν εἰς τὴν οἰκίαν τοῦ βα-

20 κυριε] + μου A = 𝔐 | πεσατω SAQ†, + δη A† (in *O* sub ※) | ιωναθαμ B†: cf. 15

45 (𝔐 38) 1 σαφατιας compl.] υ pro τ BSA | μα(τ)θαν pau.] ναθαν BSA | γολιας S*†: cf. 48 1 43 25 | ιωαχαλ] ι > B*†, -χας S†: cf. 44 3 | ελαλει(A ελαλησεν) ιερεμιας] tr. B = 𝔐 | λαον] οχλον S*† || 2 fin. και ζησεται > A || 3 βασιλεως > S† | συλλημψεται] συλ > S*, -ψονται A† || 4 ειπεν S*† | δη > A | αυτος > A† | πολεμουντων] -μιστων *AC*† | καταλελ(ε)ιμμενων *AL* | εν] επι A† | χρησιμολογει B*† | τουτω > A† || 5 χερσιν] pr. ταις A || 6 τον 1° > B† || 7 πυλη] αυλη A† || 9 fin. εις την πολιν S† || 10 τας χειρας] την -ρα A† | εντευθεν] pr. απ A†